eul_wid: isy-aa

*Ἡρώδας ὁ Μιμογράφος* · Herodas the Mimiamb Poet

# Mimiambs

*Μιμίαμβοι*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἰωνικὴ Ἰαμβική* Ionic Iambic
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

book 1 ΜΗΤΡΙΧΗ

book 1.1 Θ[ρέισ]σα, ἀράσσει τὴν θύρην τις· οὐκ ὄψηι μ[ή] τ[ις] παρ’ ἡμέων ἐξ ἀγροικίης ἥκει; ΘΡΕΙΣΣΑ

book 1.3 τίς τ[ὴν] θύρην; ΓΥΛΛΙΣ ἐγῶδε. ΘΡ. τίς σύ; δειμαίνεις ἆσσον προσελθεῖν; ΓΥ. ἢν ἰδού, πάρειμ’ ἆσσον.

book 1.5 〈ΘΡ.〉 τίς δέ εἰ 〈σ〉 σύ; 〈ΓΥ.〉 Γυλλίς, ἡ Φιλαινίδος μήτηρ. ἄγγειλον ἔνδον Μητρίχηι παρεῦσάν με. ΘΡ.καλεῖ— 〈ΜΗ.〉 τίς ἐστιν; 〈ΘΡ.〉 Γυλλίς. 〈ΜΗ.〉 ἀμμίη

book 1.7 Γυλλίς. στρέψον τι, δούλη. τίς σε μοῖρ’ ἔπεις’ ἐλθεῖν, Γυλλίς, πρὸς ἡμέας; τί σὺ θεὸς πρὸς ἀνθρώπους;

book 1.10 ἤδη γάρ εἰσι πέντε κου, δοκέω, [μ]ῆν[ε]ς ἐξ οὗ σε, Γυλλίς, οὐδ’ ὄναρ, μὰ τὰς Μοίρας, πρὸς τὴν θύρην ἐλθοῦσαν εἶδέ τις ταύτην. ΓΥ.μακρὴν ἀποικέω, τέκνον, ἐν δὲ τῆις λαύρηις ὁ πηλὸς ἄχρις ἰγνύων προσέστηκεν,

book 1.15 ἐγὼ δὲ δραίνω μυῖ’ ὅσον· τὸ γὰρ γῆρας ἡμέας καθέλκει καὶ σκιὴ παρέστηκεν. [ΜΗ.]...].ε καὶ μὴ τοῦ χρόνου καταψεύδεο·

book 1 ......]. γὰρ, Γυλλί, κἠτέρους ἄγχειν. ΓΥ.σίλλ[α]ινε· ταῦτα τῆις νεωτέρηις ὗμιν

book 1.20 πρόσεστιν. 〈ΜΗ.〉 ἀλλ’ οὐ τοῦτο μή σε θερμήνηι. 〈ΓΥ.〉 ἀλλ’ ὦ τέκνον, κόσον τιν’ ἤδη χηραίνεις χρόνον μόνη τρύχουσα τὴν μίαν κοίτην; ἐξ οὗ γὰρ εἰς Αἴγυπτον ἐστάλη Μάνδρις δέκ’ εἰσὶ μῆνες, κοὐδὲ γράμμα σοι πέμπει,

book 1.25 ἀλλ’ ἐκλέλησται καὶ πέπωκεν ἐκ καινῆς. κεῖ δ’ ἐστὶν οἶκος τῆς θεοῦ· τὰ γὰρ πάντα, ὅσ’ ἔστι κου καὶ γίνετ’, ἔστ’ ἐν Αἰγύπτωι· πλοῦτος, παλαίστρη, δύναμι[ς], εὐδίη, δόξα, θέαι, φιλόσοφοι, χρυσίον, νεηνίσκοι,

book 1.30 θεῶν ἀδελφῶν τέμενος, ὁ βασιλεὺς χρηστός, Μουσῆιον, οἶνος, ἀγαθὰ πάντ’ ὅς’ ἂν χρήιζηι, γυναῖκες, ὁκόσους οὐ μὰ τὴν Ἅιδεω Κούρην ἀστέρας ἐνεγκεῖν οὐραν[ὸ]ς κεκαύχηται, τὴν δ’ ὄψιν οἷαι πρὸς Πάρι[ν] κοτ’ ὥρμησαν

book 1.35 .... κρι]θῆναι καλλονήν—λάθοιμ’ αὐτάς ......]. κο[ί]ην οὖν τάλαιν[α] σὺ ψυχήν ἔ]χο[υσ]α θάλπεις τὸν δίφρον; κατ’ οὖν λήσεις ......] καί σευ τὸ ὥριον τέφρη κάψει. .....]νον ἄλληι κἠμέρας μετάλλαξον

book 1.40

τὸ]ν νοῦν δύ’ ἢ τρεῖς, κἰλαρὴ κατάστηθι (.).....ις ἄλλον· νηῦς μιῆς ἐπ’ ἀγκύρης οὐκ] ἀσφαλὴς ὁρμεῦσα· κεῖνος ἢν ἔλθηι ........]..[..]ν[.] μηδὲ εἷς ἀναστήσηι ἡ]μέας ....τοδινα δὲ ἄγριος χειμών ..[.............].. κοὐδὲ εἷς οἶδεν .......]ν ἡμέων ἄστατος γὰρ ἀνθρώποις ......].λη[.]ς. ἀλλὰ μήτις ἔστηκε σύνεγγυς ἧμιν; 〈ΜΗ.〉 οὐδὲ ε[ἷ]ς. 〈ΓΥ.〉 ἄκουσον δή ἅ σοι χρ[εί]ζους’ ὧδ’ ἔβην ἀπαγγεῖλαι· ὁ Ματαλ[ί]νης τῆς Παταικίου Γρύλλος, ὁ πέντε νικέων ἆθλα, παῖς μὲν ἐν Πυθοῖ, δὶς δ’ ἐν Κορίνθωι τοὺς ἴουλον ἀνθεῦντας, ἄνδρας δὲ Πίσηι δὶς καθεῖλε πυκτεύσας, πλουτέων τὸ καλόν, οὐδὲ κάρφος ἐκ τῆς γῆς κινέων, ἄθικτος ἐς Κυθηρίην σφρηγίς, ἰδών σε καθόδωι τῆς Μίσης ἐκύμηνε τὰ σπλάγχν’ ἔρωτι καρδίην ἀνοιστρηθείς, καί μευ οὔτε νυκτὸς οὔτ’ ἐπ’ ἡμέρην λείπει τὸ δῶμα, [τέ]κνον, ἀλλά μευ κατακλαίει καὶ ταταλ[ί]ζει καὶ ποθέων ἀποθνήισκει. ἀλλ’, ὦ τέκνον μοι Μητρίχη, μίαν ταύτην ἁμαρτίην δὸς τῆι θεῶι· κατάρτησον σαυτήν, τὸ [γ]ῆρας μὴ λάθηι σε προσβλέψαν. καὶ δοιὰ πρήξεις· ἡδε. [.]..[.].[..].[ δοθήσεταί τι μέζον ἢ δοκεῖς· σκέψαι, πείσθητί μευ· φιλέω σε, να[ὶ] μὰ τὰς Μοίρας. ΜΗ.Γυλλί, τὰ λευκὰ τῶν τριχῶν ἀπαμβλύνει τὸν νοῦν· μὰ τὴν γὰρ Μάνδριος κατάπλωσιν καὶ τὴν φίλην Δήμητρα, ταῦτ’ ἐγὼ [ἐ]ξ ἄλλης γυναικὸς οὐκ ἂν ἡδέως ἐπήκουσα, χωλὴν δ’ ἀείδειν χώλ’ ἂν ἐξεπαίδευσα καὶ τῆς θύρης τὸν οὐδὸν ἐχθρὸν ἡγεῖσθαι. σὺ δ’ αὖτις ἔς με μηδὲ ἕν〈α〉, φίλη, τοῖον φέρουσα χώρει μῦθον· ὃν δὲ γρήιηισι πρέπει γυναιξὶ τῆις νέηις ἀπάγγελλε· τὴν Πυθέω δὲ Μητρίχην ἔα θάλπειν τὸν δίφρον· οὐ γὰρ ἐνγελᾶι τις εἰς Μάνδριν. ἀλλ’ οὐχὶ τούτων, φασί, τῶν λόγων Γυλλίς δεῖται· Θρέισσα, τὴν μελαινίδ’ ἔκτ[ρ]ιψον κἠκτημόρους τρεῖς ἐγχέασ[α τ]οῦ [ἀ]κρήτου καὶ ὕδωρ ἐπιστάξασα δὸς πιεῖ[ν]. ΓΥ. καλῶς. 〈ΜΗ.〉 τῆ, Γυλλί, πῖθι. 〈ΓΥ.〉 δεῖξον οὐ[.]......πα.[ πείσουσά ς’ ἦλθον, ἀλλ’ ἕκη[τι] τῶν ἱρῶν. 〈ΜΗ.〉 ὧν οὕνεκέν μοι, Γυλλί, ὠνα[ 〈ΓΥ.〉 οσσοῦ γένοιτο, μᾶ, τέκνον π[.].......... ἡδύς γε· ναὶ Δήμητρα, Μητρ[ί]χη, τούτ[ου ἡδίον’ οἶνον Γυλλὶς οὐ πέ[π]ωκέν [κω. σὺ δ’ εὐτύχει μοι, τέκνον, ἀσ[φα]λίζ[ε]υ [δέ σαυτήν· ἐμοὶ δὲ Μυρτάλη τε κ[αὶ Σ]ίμη νέαι μένοιεν, ἔστ’ ἂν ἐνπνέη[ι] Γυλλίς.

ΒΑΤΤΑΡΟΣ

ἄνδρες δικασταί, τῆς γενῆς μ[ὲ]ν οὐκ ἐστέ ἡμέων κριταὶ δήκουθεν οὐδὲ [τ]ῆς δόξης, οὐδ’ εἰ Θαλῆς μὲν οὗτος ἀξίην τὴ[ν] νηῦν ἔχει ταλάντων πέντ’, ἐγὼ δὲ μ[η]δ’ ἄρτους, ....].περέξει Βάτταρόν [τι π]ημήνας· ....]...κ.ι..[.]ωλυκον γὰρ [..]κλαυσαι ....].ιησομαστοσηιας[..]νχωρη ....].σμε..ι.. ἐστὶ τῆς [πό]λιος κἠγώ, ... ζ]ῶμεν οὐκ ὡς βουλό[με〈σ〉]θ’ ἀλλ’ ὡς ἡμέας ....]ρος ἕλκει. προστάτην [..]ει Μέννην ἐγὼ] δ’ Ἀρι[στοφ]ῶντα· πὺξ [νε]νίκηκεν Μέν]νης, [Ἀρισ]τοφῶν δὲ κ[...] νῦν ἄγχει· ...]η ἐστ’ [ἀλη]θέα ταῦτα, το[ῦ ἡ]λίου δύντος ...].θετωσ[..]ων ἄνδρες .[..]ιχε χλαῖναν ...].νωσε..ιω προστάτ[ηι τ]εθώρηγμαι ...]..χ...ν “ἐξ Ἄκης ἐλήλουθα πυρ]οὺς ἄγων κἤστησα τὴν κακὴν λιμόν,” ....]ε πό[ρ]νας ἐκ Τύρου· τί τῶι δήμωι ........; ] δωρεὴν γὰρ οὔτ’ οὗτος πυρούς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

........]θιν οὔτ’ ἐγὼ πάλιν κείνην. εἰ δ’ οὕνεκεν πλεῖ τὴν θάλασσαν ἢ χλαῖναν ἔχει τριῶν μνέων Ἀττικῶν, ἐγὼ δ’ οἰκέω ἐν γῆι τρίβωνα καὶ ἀσκέρας σαπρὰς ἕλκων, βίηι τιν’ ἄξει τῶν ἐμῶν ἔμ’ οὐ πείσας,

καὶ ταῦτα νυκτός, οἴχετ’ ἧμιν ἡ ἀλεωρὴ τῆς πόλιος, ἄνδρες, κἀπ’ ὅτ 〈ε〉 ωι σεμνύνεσθε, τὴν αὐτονομίην ὑμέων Θαλῆς λύσει. ὃν χρῆν ἑαυτὸν ὅστις ἐστὶ κἀκ ποίου πηλοῦ πεφύρητ’ εἰδότ’ ὡς ἐγὼ ζώειν

τῶν δημοτέων φρίσσοντα καὶ τὸν ἥκιστον. νῦν δ’ οἱ μὲν ἐόντες τῆς πόλιος καλυπτῆρες καὶ τῆι γενῆι φυσῶντες οὐκ ἴσον τούτωι πρὸς τοὺς νόμους βλέπουσι κἠμὲ τὸν ξεῖνον οὐδεὶς πολίτης ἠλόησεν οὐδ’ ἦλθεν

πρὸς τὰς θύρας μευ νυκτὸς οὐδ’ ἔχων δᾶιδας τὴν οἰκίην ὑφῆψεν οὐδὲ τῶν πορνέων β[ί]ηι λαβὼν οἴχωκεν· ἀλλ’ ὁ Φρὺξ οὗτος, ὁ νῦν Θαλῆς ἐών, πρόσθε δ’, ἄνδρες, Ἀρτίμμης, ἅπαντα ταῦτ’ ἔπρηξε κοὐκ ἐπηιδέσθη

οὔτε νόμον οὔτε προστάτην οὔτ’ ἄρχοντα. καίτοι λαβών μοι, γραμματεῦ, τῆς αἰκείης τὸν νόμον ἄνειπε, καὶ σὺ τὴν ὀπὴν βῦσον

τῆς κλεψύδρης, βέλτιστε, μέχρις οὗ 〈’ν〉 είπηι, μὴ προστε κῦσος φῆι τι κὠ τάπης ἧμιν,

τὸ τοῦ λόγου δὴ τοῦτο, ληίης κύρσηι. ΓΡΑΜΜΑΤΕΥΣ

ἐπὴν δ’ ἐλεύθερός τις αἰκίσηι δούλην ἢ ἕ 〈λ〉 κων ἐπίσπηι, τῆς δίκης τὸ τίμημα διπλοῦν τελείτω. ΒΑ. ταῦτ’ ἔγραψε Χαιρώνδης, ἄνδρες δικασταί, καὶ οὐχὶ Βάτταρος χρήιζων

Θαλῆν μετελθεῖν. ἢν θύρην δέ τις κόψηι, μνῆν τινέτω, φησί· ἢν δὲ πὺξ ἀλοιήσηι, ἄλλην πάλι μνῆν· ἢν δὲ τὰ οἰκί’ ἐμπρήσηι ἢ ὅρους ὑπερβῆι, χιλίας τὸ τίμημα ἔνειμε, κἢν βλάψηι τι, διπλόον τίνειν.

ὤικει πόλιν γάρ, ὦ Θάλης, σὺ δ’ οὐκ οἶσθας οὔτε πόλιν οὔτε πῶς πόλις διοικεῖται, οἰκεῖς δὲ σήμερον μὲν ἐν Βρικινδήροις ἐχθὲς δ’ ἐν Ἀβδήροισιν, αὔριον δ’ ἥν σοι ν[α]ῦλον διδοῖ τις, ἐς Φασηλίδα πλώσηι.

ἐ[γ]ὼ δ’ ὅκως ἂν μὴ μακρηγορέων ὑμέας, ὦνδρες δικασταί, τῆι παροιμίηι τρύχω, πέπονθα πρὸς Θάλητος ὅσσα κἠμ πίσσηι μῦς· πὺξ ἐπλήγην, ἡ θύρη κατήρηκται τῆς οἰκίης μευ, τῆς τελέω τρίτην μισθόν,

τὰ ὑπέρθυρ’ ὀπτά. δεῦρο, Μυρτάλη, καὶ σύ· δεῖξον σεωυτὴν πᾶσι· μηδέν’ αἰσχύνευ· νόμιζε τούτου[ς] οὓς ὁρῆις δικάζοντας πατέρας ἀδελφοὺς ἐμβλέπειν. ὁρῆτ’ ἄνδρες, τὰ τίλματ’ αὐτῆς καὶ κάτωθεν κἄνωθεν

ὡς λεῖα ταῦτ’ ἔτιλλεν ὡναγὴς οὗτος, ὅτ’ εἷλκεν αὐτὴν κἀβιάζετ’—ὦ γῆρας, σοὶ θυέτω ἐπ[εὶ] τὸ αἷμ’ ἂν ἐξεφύσησεν

ὥσπερ Φίλι[π]πος ἐν Σάμωι κοτ’ ὁ βρεγκος. γελᾶις; κίν[α]ιδός εἰμι καὶ οὐκ ἀπαρνεῦμαι,

καὶ Βάτταρός μοι τοὔνομ’ ἐστὶ κὠ πάππος ἦν μοι Σισυμβρᾶς κὠ πατὴρ Σισυμβρίσκος, κἠπορνοβόσ[κ]ευν πάντες, ἀλλ’ ἕκητ’ ἀλκῆς θαρσέων λε.[.].α.[.]οιμαν εἰ Θαλῆς εἴη. ἐρᾶις σὺ μὲν ἴσω[ς] Μυρτάλης; οὐδὲν δεινόν·

ἐγὼ δὲ πυρέων· ταῦτα δοὺς ἐκεῖν’ ἕξεις. ἢ νὴ Δί’, εἴ σευ θ[ά]λπεταί τι τῶν ἔνδον, ἔμβυσον εἰς τὴν χεῖρα Βατταρίωι τιμήν, καὐτὸς τὰ σαυτοῦ θλῆ λαβὼν ὅκως χρήιζεις. ἓν δ’ ἔστιν, ἄνδρες— ταῦτα μὲν γὰρ εἴρηται

πρὸς τοῦτον—ὑμεῖς δ’ ὡς ἀμαρτύρων εὐντων γνώμηι δικαίηι τὴν κρίσιν διαιτᾶτε. ἢν δ’ οἷον ἐς τὰ δοῦλα σώματα σπεύδηι κἠς βάσανον αἰτῆι, προσδίδωμι κἀμαυτόν· λαβών, Θαλῆ, στρέβλου με· μοῦνον ἡ τιμή

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν τῶι μέσωι ἔστω· ταῦτα τρυτάνηι Μίνως οὐκ ἂν δικάζων βέλτιον διήιτησε. τὸ λοιπόν, ἄνδρες, μὴ δοκεῖτε τὴν ψῆφον τῶι πορνοβοσκῶι Βαττάρωι φέρειν, ἀλλά ἅπασι τοῖς οἰκεῦσι τὴν πόλιν ξείνοις.

νῦν δείξετ’ ἡ Κῶς κὠ Μέροψ κόσον δραίνει, κὠ Θεσσαλὸς τίν’ εἶχε κἠρακλῆς δόξαν, κὠσκληπιὸς κῶς ἦλθεν ἐνθάδ’ ἐκ Τρίκκης, κἤτικτε Λητοῦν ὧδε τεῦ χάριν Φοίβη. ταῦτα σκοπεῦντες πάντα τὴν δίκην ὀρθῆι

γνώμηι κυβερνᾶτ’, ὡς ὁ Φρὺξ τὰ νῦν ὗμιν πληγεὶς ἀμείνων ἔσσετ’, εἴ τι μὴ ψεῦδος

ἐκ τῶν παλαιῶν ἡ παροιμίη βάζει.

ΜΗΤΡΟΤΙΜΗ

οὕτω τί σοι δοίησαν αἱ φίλαι Μοῦσαι, Λαμπρίσκε, τερπνὸν τῆς ζοῆς τ’ ἐπαυρέσθαι, τοῦτον κατ’ ὤμου δεῖρον, ἄχρις ἡ ψυχή αὐτοῦ ἐπὶ χειλέων μοῦνον ἡ κακὴ λειφθῆι.

ἔκ μευ ταλαίνης τὴν στέγην πεπόρθηκεν χαλκίνδα παίζων· καὶ γὰρ οὐδ’ ἀπαρκεῦσιν αἱ ἀστραγάλαι, Λαμπρίσκε, συμφορῆς δ’ ἤδη ὁρμᾶι ἐπὶ μέζον. κοῦ μὲν ἡ θύρη κεῖται τοῦ γραμματιστέω—καὶ τοιηκὰς ἡ πικρή

τὸν μισθὸν αἰτεῖ κἢν τὰ Ναννάκου κλαύσω— οὐκ ἂν ταχέως λήξειε· τήν γε μὴν παίστρην, ὅκουπερ οἰκίζουσιν οἵ τε προύνεικοι κοἰ δρηπέται, σάφ’ οἶδε κἠτέρωι δεῖξαι. κὴ μὲν τάλαινα δέλτος, ἣν ἐγὼ κάμνω

κηροῦσ’ ἑκάστου μηνός, ὀρφανὴ κεῖται πρὸ τῆς χαμεύνης τοῦ ἐπὶ τοῖχον ἑρμῖνος, ἢν μήκοτ’ αὐτὴν οἷον Ἀίδην βλέψας γράψηι μὲν οὐδὲν καλόν, ἐκ δ’ ὅλην ξύσηι· αἱ δορκαλῖδες δὲ λιπαρώτεραι πολλόν

ἐν τῆισι φύσηις τοῖς τε δικτύοις κεῖνται τῆς ληκύθου ἡμέων τῆι ἐπὶ παντὶ χρώμεσθα. ἐπίσταται δ’ οὐδ’ ἄλφα συλλαβὴν γνῶναι, ἢν μή τις αὐτῶι ταὐτὰ πεντάκις βώσηι. τριτὴμέρηι Μάρωνα γραμματίζοντος

τοῦ πατρὸς αὐτῶι, τὸν Μάρωνα ἐποίησεν οὗτος Σίμωνα ὁ χρηστός· ὥστ’ ἔγωγ’ εἶπα ἄνουν ἐμαυτήν, ἥτις οὐκ ὄνους βόσκειν αὐτὸν διδάσκω, γραμμάτων δὲ παιδείην, δοκεῦσ’ ἀρωγὸν τῆς ἀωρίης ἕξειν.

ἐπεὰν δὲ δὴ καὶ ῥῆσιν οἷα παιδίσκον ἢ ’γώ μιν εἰπεῖν ἢ ὁ πατὴρ ἀνώγωμεν, γέρων ἀνὴρ ὠσίν τε κὤμμασιν κάμνων, ἐνταῦθ’ ὅκως νιν ἐκ τετρημένης ἠθεῖ “Ἄπολλον ... Ἀγρεῦ ...”, “τοῦτο” φημὶ “κὴ μάμμη,

τάλης, ἐρεῖ σοι—κἠστὶ γραμμάτων χήρη— κὠ προστυχὼν Φρύξ.” ἢν δὲ δή τι καὶ μέζον γρῦξαι θέλωμεν, ἢ τριταῖος οὐκ οἶδεν τῆς οἰκίης τὸν οὐδόν, ἀλλὰ τὴν μάμμην, γρηῢν γυναῖκα κὠρφανὴν βίου, κείρει,

ἢ τοῦ τέγευς ὕπερθε τὰ σκέλεα τείνας κάθητ’ ὅκως τις καλλίης κάτω κύπτων. τί μευ δοκεῖς τὰ σπλάγχνα τῆς κάκης πάσχειν ἐπεὰν ἴδωμι; κοὐ τόσος λόγος τοῦδε· ἀλλ’ ὁ κέραμος πᾶς ὥσπερ ἴτ 〈ρ〉 ια θλῆται,

κἠπὴν ὁ χειμὼν ἐγγὺς ἦι, τρί’ ἡμαιθα κλαίουσα ἑκάστου τοῦ πλατύσματος τίνω· ἓν γὰρ στόμ’ ἐστὶ τῆς συνοικίης πάσης, “τοῦ Μητροτίμης ἔργα Κοττάλου ταῦτα”, κἀληθίν’ ὥστε μηδ’ ὀδόντα κινῆσαι.

ὅρη δὲ κοίως τὴν ῥάκιν λελέπρηκε πᾶσαν, κατ’ ὕλην, οἷα Δήλιος κυρτεύς ἐν τῆι θαλάσσηι, τὠμβλὺ τῆς ζοῆς τρίβων. τὰς ἑβδόμας δ’ ἄμεινον εἰκάδας τ’ οἶδε τῶν ἀστροδιφέων, κοὐδ’ ὕπνος νιν αἱρεῖται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νοεῦντ’ ὅτ’ ἦμος παιγνίην ἀγινῆτε. ἀλλ’ εἴ τί σοι, Λαμπρίσκε, καὶ βίου πρῆξιν ἐσθλὴν τελοῖεν αἵδε κἀγαθῶν κύρσαις, μἤλασσον αὐτῶι— ΛΑΜΠΡΙΣΚΟΣ Μητροτίμη, 〈μὴ〉

book 3.58 ἐπεύχεο· ἕξει γὰρ οὐδὲν μεῖον. Εὐθίης κοῦ μοι,

book 3.60 κοῦ Κόκκαλος, κοῦ Φίλλος; οὐ ταχέως τοῦτον

book 3 ἀρεῖτ’ ἐπ’ ὤμου τῆι Ἀκέσεω σεληναίηι δείξοντες; αἰνέω τἄργα, Κότταλ’, ἃ πρήσσεις· οὔ σοι ἔτ’ ἀπαρκεῖ τῆισι δορκάσιν παίζειν ἀστράβδ’ ὅκωσπερ οἵδε, πρὸς δὲ τὴν παίστρην

book 3.65 ἐν τοῖσι προ〈υ〉 νείκοισι χαλκίζεις φοιτέων; ἐγώ σε θήσω κοσμιώτερον κούρης, κινεῦντα μηδὲ κάρφος, εἰ τό γ’ ἥδιστον. κοῦ μοι τὸ δριμὺ σκῦτος, ἡ βοὸς κέρκος, ὧι τοὺς πεδήτας κἀποτάκτους λωβεῦμαι;

book 3.70 δότω τις εἰς τὴν χεῖρα πρὶν χολη βῆξαι. ΚΟΤΤΑΛΟΣ

book 3.71 μή μ’ ἱκετεύω, Λαμπρίσκε, πρός σε τῶν Μουσέων καὶ τοῦ γενείου τῆς τε Κόττιδος ψυχῆς μὴ τῶι με δριμεῖ, τῶι ’τέρωι δὲ λώβησαι. 〈ΛΑ.〉 ἀλλ’ εἷς πονηρός, Κότταλε, ὥ〈σ〉 τε καὶ περνάς

book 3.75 οὐδείς ς’ ἐπαινέσειεν, οὐδ’ ὅκου χώρης οἱ μῦς ὁμοίως τὸν σίδηρον τρώγουσιν. ΚΟ.κόσας, κόσας, Λαμπρίσκε, λίσσομαι, μέλλεις ἔς μ’ ἐνφορῆσαι; 〈ΛΑ.〉 μὴ ’μέ, τήνδε δ’ εἰρώτα. 〈ΚΟ.〉 τατα 〈ῖ〉, κόσας μοι δώσετ’; 〈ΜΗ.〉 εἴ τί σοι ζώιην,

book 3.80 φέρειν ὅσας ἂν ἡ κακὴ σθένηι βύρσα. 〈ΚΟ.〉 παῦσαι· ἱκαναί, Λαμπρίσκε. ΛΑ. καὶ σὺ δὴ παῦσαι κάκ’ ἔργα πρήσσων. 〈ΚΟ.〉 οὐκέτ’ οὐκέτι πρήξω, ὄμνυμί σοι, Λαμπρίσκε, τὰς φίλας Μούσας. ΛΑ.ὅσσην δὲ καὶ τὴν γλάσσαν, οὗτος, ἔσχηκας·

book 3.85 πρός σοι βαλέω τὸν μῦν τάχ’ ἢν πλέω γρύξῃς. ΚΟ.ἰδού, σιωπῶ· μή με, λίσσομαι, κτείνῃς. ΛΑ.μέθεσθε, Κόκκαλ’, αὐτόν. ΜΗ. οὐ δ〈εῖ σ’〉 ἐκλῆξαι,

book 3 Λαμπρίσκε· δεῖρον ἄχρις ἥλιος δύσηι.

book 3.88a 〈ΛΑ.ἀλλ’ ............................〉

book 3.89 ΜΗ.ἀλλ’ ἐστὶν ὕδρης ποικιλώτερος πολλῶι

book 3.90 καὶ δεῖ λαβεῖν νιν—κἀπὶ βυβλίωι δήκου, τὸ μηδέν—ἄλλας εἴκοσίν γε, καὶ ἢν μέλληι αὐτῆς ἄμεινον τῆς Κλεοῦς ἀναγνῶναι. 〈ΚΟ.〉 ἰσσαῖ. 〈ΛΑ.〉 λάθοις τὴν γλάσσαν ἐς μέλι πλύνας. 〈ΜΗ.〉 ἐρέω ἐπιμηθέως τῶι γέροντι, Λαμπρίσκε,

book 3.95 ἐλθοῦς’ ἐς οἶκον ταῦτα, καὶ πέδας ἥξω φέρους’ ὅκως νιν σύμποδ’ ὧδε πηδεῦντα αἱ πότνιαι βλέπωσιν ἃς ἐμίσησεν.

book 4 ΚΥΝΝΩ

book 4.1 χαίροις, ἄναξ Παίηον, ὃς μέδεις Τρίκκης καὶ Κῶν γλυκεῖαν κἠπίδαυρον ὤικηκας, σὺν καὶ Κορωνὶς ἥ ς’ ἔτικτε κὠπόλλων χαίροιεν, ἧς τε χειρὶ δεξιῆι ψαύεις

book 4.5 Ὑγίεια, κὦνπερ οἵδε τίμιοι βωμοί Πανάκη τε κἠπιώ τε κἰησὼ χαίροι, κοἰ Λεωμέδοντος οἰκίην τε καὶ τείχεα πέρσαντες, ἰητῆρες ἀγρίων νούσων, Ποδαλείριός τε καὶ Μαχάων χαιρόντων,

book 4.10 κὤσοι θεοὶ σὴν ἐστίην κατοικεῦσιν καὶ θεαί, πάτερ Παίηον· ἵλεωι δεῦτε τοῦ ἀλέκτορος τοῦδ’, ὅντιν’ οἰκίης τοίχων κήρυκα θύω, τἀπίδορπα δέξαισθε. οὐ γάρ τι πολλὴν οὐδ’ ἕτοιμον ἀντλεῦμεν,

book 4.15 ἐπεὶ τάχ’ ἂν βοῦν ἢ νενημένην χοῖρον

book 4 πολλῆς φορίνης, κοὐκ ἀλέκτορ’, ἴητρα νούσων ἐποιεύμεσθα τὰς ἀπέψησας ἐπ’ ἠπίας σὺ χεῖρας, ὦ ἄναξ, τείνας. ἐκ δεξιῆς τὸν πίνακα, Κοκκάλη, στῆσον

book 4.20

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς Ὑγιείης. 〈ΦΙΛΗ〉 ἆ, καλῶν, φίλη Κυννοῖ, ἀγαλμάτων· τίς ἦρα τὴν λίθον ταύτην τέκτων ἐπο〈ί〉ει καὶ τίς ἐστιν ὁ στήσας; 〈ΚΥ.〉 οἱ Πρηξιτέλεω παῖδες· οὐκ ὁρῇς κεῖνα ἐν τῆι βάσι τὰ γράμματ’; Εὐθίης δ’ αὐτήν

ἔστησεν ὁ Πρήξωνος. 〈ΦΙ.〉 ἵλεως εἴη καὶ τοῖσδ’ ὁ Παιὼν καὶ Εὐθίηι καλῶν ἔργων. 〈ΚΥ.〉 ὅρη, Φίλη, τὴν παῖδα τὴν ἄνω κείνην βλέπουσαν ἐς τὸ μῆλον· οὐκ ἐρεῖς αὐτήν ἢν μὴ λάβηι τὸ μῆλον ἐκ τάχα ψύξει〈ν〉;

〈ΦΙ.〉 κεῖνον δέ, Κυννοῖ, τὸν γέροντ’— 〈ΚΥ.〉 ἆ πρὸς Μοιρέων τὴν χηναλώπεκα ὡς τὸ παιδίον πνίγει. πρὸ τῶν ποδῶν γοῦν εἴ τι μὴ λίθος, τοὔργον, ἐρεῖς, λαλήσει. μᾶ, χρόνωι κοτ’ ὤνθρωποι κἠς τοὺς λίθους ἕξουσι τὴν ζοὴν θεῖναι.

ΦΙ.τὸν Βατάλης γὰρ τοῦτον οὐκ ὁρῇς, Κυννοῖ, ὅκως βέβηκεν ἀνδρ[ι]άντα τῆς Μύττεω; εἰ μή τις αὐτὴν εἶδε Βατάλην, βλέψας ἐς τοῦτο τὸ εἰκόνισμα μὴ ἐτύμης δείσθω. ΚΥ.ἕπευ, Φίλη, μοι καὶ καλόν τί σοι δείξω

πρῆγμ’ οἷον οὐκ ὤρηκας ἐ[ξ] ὅτευ ζώεις. Κύδιλλ’, ἰοῦσα τὸν νεωκόρον βῶσον. οὐ σοὶ λέγω, αὕτη, τῆι ὧδε κὧδε χασκεύσηι; μᾶ, μή τιν’ ὤρην ὧν λέγω πεποίηται, ἕστηκε δ’ εἴς μ’ ὀρεῦσα καρκ[ί]νου μέζον.

ἰοῦσα, φημί, τὸν νεωκόρον βῶσον.

λαίμαστρον, οὔτ’ ὀργή σ[ε] κ[ρ]ηγύην οὔτε βέβηλος αἰνεῖ, πανταχῆι δ’ ἴση κεῖσαι. μαρτύρομαι, Κύδιλλα, τὸν θεὸν τοῦτον, ὡς ἔκ με κα〈ί〉εις οὐ θέλουσαν οἰδῆσαι·

μαρτύρομαι, φημί· ἔσσετ’ ἡμέρη κείνη ἐν ἧι τὸ βρέγμα τοῦτο τωυσυρες κνήσηι. ΦΙ.μὴ πάντ’ ἑτοίμως καρδιηβολεῦ, Κυννοῖ· δούλη ’στι, δούλης δ’ ὦτα νωθρίη θλίβει. ΚΥ.ἀλλ’ ἡμέρη τε κἠπὶ μέζον ὠθεῖται·

αὕτη σύ, μεῖνον· ἡ θύρη γὰρ ὤικται κἀνεῖτ’ ὁ παστός. 〈ΦΙ.〉 οὐκ ὁρῇς, φίλη Κυννοῖ; οἷ’ ἔργα κεῖ ’νῆν· ταῦτ’ ἐρεῖς Ἀθηναίην γλύψαι τὰ καλά—χαιρέτω δὲ δέσποινα. τὸν παῖδα δὴ 〈τὸν〉 γυμνὸν ἢν κνίσω τοῦτον

οὐκ ἕλκος ἕξει, Κύννα; πρὸς γάρ οἱ κεῖνται αἱ σάρκες οἷα θερμὰ θερμὰ πηδῶσαι ἐν τῆι σανίσκηι. τὠργύρευν δὲ πύραυστρον οὐκ ἢν ἴδη〈σι〉 Μύλλος ἢ Παταικίσκος ὁ Λαμπρίωνος, ἐκβαλεῦσι τὰς κούρας

δοκεῦντες ὄντως ἀργύρευν πεποιῆσθαι; ὁ βοῦς δὲ κὠ ἄγων αὐτὸν ἥ τ’ ὁμαρτεῦσα κὠ γρυπὸς οὗτος κὠ [ἀν]άσιλλος ἄνθρωπος οὐχὶ ζοὴν βλέπουσι κἠμέρην πάντες; εἰ μὴ ἐδόκευν τι μέζον ἢ γυνὴ πρήσσειν,

ἀνηλάλαξ’ ἄν, μή μ’ ὁ βοῦς τι πημήνηι· οὕτω ἐπιλοξοῖ, Κυννί, τῆι ἑτέρηι κούρηι. ΚΥ.ἀληθιναί, Φίλη, γὰρ αἱ Ἐφεσίου χεῖρες ἐς πάντ’ Ἀπελλέω γράμματ’· οὐδ’ ἐρεῖς “κεῖνος ὤνθρωπος ἓν μὲν εἶδεν, ἓν δ’ ἀπηρνήθη”,

ἀλλ’ ὧι ἐπὶ νοῦν γένοιτο καὶ θέων ψαύειν ἠπείγετ’. ὃς δ’ ἐκεῖνον ἢ ἔργα τὰ ἐκείνου μὴ παμφαλήσας ἐκ δίκης ὀρώρηκεν, ποδὸς κρέμαιτ’ ἐκεῖνος ἐν γναφέως οἴκωι. ΝΕΩΚΟΡΟΣ

καλ’ ὗμιν, ὦ γυναῖκες, ἐντελέως τὰ ἱρά

καὶ ἐς λῶιον ἐμβλέποντα· μεζόνως οὔτις ἠρέσατο τὸν Παιήον’ ἤπερ οὖν ὑμεῖς. ἰὴ ἰὴ Παίηον, εὐμενὴς εἴης καλοῖς ἐπ’ ἱροῖς τῆισδε κεἴ τινες τῶνδε ἔας’ ὀπυιηταί τε καὶ γενῆς ἆσσον.

ἰὴ ἰὴ Παίηον, ὧδε ταῦτ’ εἴη. 〈ΚΥ.〉 εἴη γάρ, ὦ μέγιστε, κὐγίηι πολλῆι ἔλθοιμεν αὖτις μέζον’ ἴρ’ ἀγινεῦσαι σὺν ἀνδράσιν καὶ παισί. Κοκκάλη, καλῶς τεμεῦσα μέμνεο τὸ σκελύδριον δοῦναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶι νεωκόρωι τοὔρνιθος· ἔς τε τὴν τρώγλην τὸν πελανὸν ἔνθες τοῦ δράκοντος εὐφήμως, καὶ ψαιστὰ δεῦσον· τἄλλα δ’ οἰκίης ἕδρηι δαισόμεθα, καὶ ἐπὶ μὴ λάθηι φέρειν, αὕτη τῆς ὑγιίης λωι πρόσδος· ἦ γὰρ ἱροῖσιν

book 4.95 με.ων αμαρτιησηυγιηστι τῆς μοίρης.

book 5 ΒΙΤΙΝΝΑ

book 5.1 λέγε μοι σύ, Γάστρων, ἥδ’ ὑπερκορὴς οὕτω ὥστ’ οὐκέτ’ ἀρκεῖ τἀμά σοι σκέλεα κινεῖν

book 5 ἀλλ’ Ἀμφυταίηι τῆι Μένωνος ἔγκεισαι; ΓΑΣΤΡΩΝ

book 5.4 ἐγὼ Ἀμφυταίηι; τὴν λέγεις ὀρώρηκα

book 5.5 γυναῖκα; 〈ΒΙ.〉 προφάσις πᾶσαν ἡμέρην ἕλκεις. 〈ΓΑ.〉 Βίτιννα, δοῦλός εἰμι· χρῶ ὅτι βούληι 〈μοι〉 καὶ μὴ τό μευ αἷμα νύκτα κἠμέρην π[ῖ]νε. ΒΙ.ὅσην δὲ καὶ τὴν γλάσσαν, οὗτος, ἔσχηκας. Κύδιλλα, κοῦ ’στι Πυρρίης, κάλει μ’ αὐτόν.

book 5.10 ΠΥΡΡΙΗΣ

book 5.10 τί ἐστι; ΒΙ. τοῦτον δῆσον—ἀλλ’ ἔτ’ ἕστηκας; — τὴν ἱμανήθρην τοῦ κάδου ταχέως λύσας. ἢν μὴ καταικίσασα τῆι ς’ ὅληι χώρηι παράδειγμα θῶ, μᾶ, μή με θῆις γυναῖκ’ εἶναι. ἦρ’ οὐχὶ μᾶλλον Φρύξ; ἐγὼ αἰτίη τούτων,

book 5.15 ἐγὦιμι, Γάστρων, ἤ σε θεῖσα ἐν ἀνθρώποις. ἀλλ’ εἰ τότ’ ἐξήμαρτον, οὐ τὰ νῦν εὗσαν μώρην Βίτινναν, ὡς δοκεῖς, ἔτ’ εὑρήσεις. φέρ’, εἷς σύ, δῆσον, τὴν ἀπληγίδ’ ἐκδύσας. ΓΑ.μὴ μή, Βίτιννα, τῶν σε γουνάτων δεῦμαι.

book 5.20 ΒΙ.ἔκδυθι, φημί. δεῖ ς’ ὀτεύνεκ’ εἰ 〈σ〉 δοῦλος καὶ τρεῖς ὑπέρ σευ μνᾶς ἔθηκα γινώσκειν. ὡς μὴ καλῶς γένοιτο τἠμέρηι κείνηι ἥτις ς’ ἐσήγαγ’ ὧδε. Πυρρίη, κλαύσηι· ὁρῶ σε δήκου πάντα μᾶλλον ἢ δεῦντα·

book 5.25 σύσσφιγγε τοὺς ἀγκῶνας, ἔκπρισον δήσας. ΓΑ.Βίτιννα, ἄφες μοι τὴν ἁμαρτίην ταύτην. ἄνθρωπός εἰμι, ἥμαρτον· ἀλλ’ ἐπὴν αὖτις ἕληις τι δρῶντα τῶν σὺ μὴ θέληις, στίξον. ΒΙ.πρὸς Ἀμφυταίην ταῦτα, μὴ ’μὲ πληκτίζευ,

book 5.30 μετ’ ἧς ἀλινδῆι καὶ εμ..(.)η ποδόψηστρον 〈ΠΥ.〉 δέδεται καλῶς σοι. ΒΙ. μὴ λάθηι λυθεὶς σκέψαι. ἄγ’ αὐτὸν εἰς τὸ ζήτρειον πρὸς Ἕρμωνα καὶ χιλίας μὲν ἐς τὸ νῶτον ἐγκόψαι αὐτῶι κέλευσον, χιλίας δὲ τῆι γαστρί.

book 5.35 ΓΑ.ἀποκτενεῖς, Βίτιννα, μ’ οὐδ’ ἐλέγξασα εἴτ’ ἔστ’ ἀληθέα πρῶτον εἴτε καὶ ψευδέα; ΒΙ.ἃ δ’ αὐτὸς εἶπας ἄρτι τῆι ἰδίηι γλάσσηι, “Βίτινν’, ἄφες μοι τὴν ἁμαρτίην ταύτην”; ΓΑ.τήν σευ χολὴν γὰρ ἤθελον κατασβῶσαι.

book 5.40 ΒΙ.ἕστηκας ἐμβλέπων σύ, κοὐκ ἄγεις αὐτόν ὅκου λέγω σοι; θλῆ, Κύδιλλα, τὸ ῥύγχος τοῦ παντοέρκτεω τοῦδε. καὶ σύ μοι, Δρήκων, ἤδη ’φαμάρτει 〈τῆι〉 σοι ἂν οὗτος ἡγῆται. δώσεις τι, δούλη, τῶι κατηρήτωι τούτωι

book 5.45 ῥάκος καλύψαι τὴν ἀνώνυμον κέρκον, ὡς μὴ δι’ ἀγορῆς γυμνὸς ὢν θεωρῆται. τὸ δεύτερόν σοι, Πυρρίη, πάλιν φωνέω, ὅκως ἐρεῖς Ἕρμωνι χιλίας ὧδε καὶ χιλίας ὧδ’ ἐμβαλεῖν· ἀκήκουκας;

book 5 ὡς ἤν τι τούτων ὧν λέγω παραστείξηις, αὐτὸς σὺ καὶ τἀρχαῖα καὶ τόκους τείσεις. βάδιζε καὶ μὴ παρὰ τὰ Μικκάλης αὐτόν ἄγ’, ἀλλὰ τὴν ἰθεῖαν. οὗ δ’ ἐπεμνήσθην— κάλει, κάλει δραμεῦσα, πρὶν μακρήν, δούλη,

book 5.55 αὐτο 〈ὺ〉 ς γενέσθαι. ΚΥΔΙΛΛΑ Πυρρίης, τάλας, κωφέ, καλεῖ σε. μᾶ, δόξει τις οὐχὶ σύνδουλον αὐτὸν σπαράσσειν ἀλλὰ σημάτων φῶρα. ὁρῆις ὅκως νῦν τοῦτον ἐκ βίης ἕλκεις ἐς τὰς ἀνάγκας, Πυρρίη; 〈σ〉 έ, μᾶ, τούτοις

book 5.60 τοῖς δύο Κύδιλλ’ ἐπόψετ’ ἡμερέων πέντε παρ’ Ἀντιδώρωι τὰς Ἀχαϊκὰς κείνας,

ἃς πρῶν ἔθηκας, τοῖς σφυροῖσι τρίβοντα. ΒΙ.οὗτος σύ, τοῦτον αὖτις ὧδ’ ἔχων ἧκε δεδεμένον οὕτως ὥσπερ ἐξάγεις αὐτόν,

Κόσιν τέ μοι κέλευσον ἐλθεῖν τὸν στίκτην ἔχοντα ραφίδας καὶ μέλαν. μιῆι δεῖ σε ὁδῶι γενέσθαι ποικίλον. κατηρτήσθω οὕτω κατάμυος ὥσπερ ἡ Δάου τιμή. ΚΥ.μή, τατί, ἀλλὰ νῦν μὲν αὐτόν—οὕτω σοι

ζώιη Βατυλλὶς κἠπίδοις μιν ἐλθοῦσαν ἐς ἀνδρὸς οἶκον καὶ τέκν’ ἀγκάλῃις ἄραις— ἄφες, παραιτεῦμαί σε· τὴν μίαν ταύτην ἁμαρτίην … ΒΙ. Κύδιλλα, μή με λύπει τι ἢ φεύξομ’ ἐκ τῆς οἰκίης. ἀφέω τοῦτον

τὸν ἑπτάδουλον; καὶ τίς οὐκ ἀπαντῶσα ἔς μευ δικαίως τὸ πρόσωπον ἐμπτύοι; οὐ τὴν Τύραννον, ἀλλ’ ἐπείπερ οὐκ οἶδεν, ἄνθρωπος ὤν, ἑωυτόν, αὐτίκ’ εἰδήσει ἐν τῶι μετώπωι τὸ ἐπίγραμμα ἔχων τοῦτο.

ΚΥ.ἀλλ’ ἔστιν εἰκὰς καὶ Γερήνι’ ἐς πέμπτην. ΒΙ.νῦν μέν ς’ ἀφήσω, καὶ ἔχε τὴν χάριν ταύτηι, ἣν οὐδὲν ἧσσον ἢ Βατυλλίδα στέργω, ἐν τῇισι χερσὶ τῇις ἐμῇισι θρέψασα. ἐπεὰν δὲ τοῖς καμοῦσιν ἐγχυτλώσωμεν

ἄξεις τότ’ ἄμελι 〈τῖ〉 τιν ἑορτὴν ἐξ ἑορτῆς.

ΚΟΡΙΤΤΩ

κάθησο, Μητροῖ. τῆι γυναικὶ θὲς δίφρον ἀνασταθεῖσα· πάντα δεῖ με προστάσσειν

αὐτήν· σὺ δ’ οὐδὲν ἄν, τάλαινα, ποιήσαις αὐτὴ ἀπὸ σαυτῆς· μᾶ, λίθος τις, οὐ δούλη

ἐν τῆι οἰκίηι 〈κ〉 εῖς’· ἀλλὰ τἄλφιτ’ ἢν μετρέω τὰ κρίμν’ ἀμιθρεῖς, κἢ 〈ν〉 τοσοῦτ’ ἀποστάξηι τὴν ἡμέ[ρ]ην ὅλην σε τονθορύζουσαν καὶ πρημονῶσαν οὐ φέρουσιν οἱ τοῖχοι. νῦν αὐτὸν ἐκμάσσεις τε καὶ ποεῖς λαμπρόν

ὅτ’ ἐστὶ χρ[εί]η, ληιστρί; θῦέ μοι ταύτηι ἐπεί ς’ ἔγευς’ ἂν τῶν ἐμῶν ἐγὼ χειρέων. ΜΗΤΡΩ

φίλη Κοριττοῖ, ταὔτ’ ἐμοὶ ζυγὸν τρίβεις· κἠγὼ ἐπιβρύχουσα ἡμέρην τε καὶ νύκτα κύων ὑλακτέω τῆι[ς] ἀνωνύμοις ταύτης.

ἀλλ’ οὕνεκεν πρός ς’ ἦλ[θ]ον—ἐκποδὼν ἧμιν φθείρεσθε, νώβυστρα, ὦτ[α] μοῦνον καὶ γλάσσαι τὰ δ’ ἄλλ’ ἑορτή—λίσσομα[ί σ]ε, μὴ ψεύσηι, φίλη Κοριττοῖ, τίς κοτ’ ἦν ὅ σοι ράψας τὸν κόκκινον βαυβῶνα; ΚΟ. κοῦ δ’ ὀρώρηκας,

Μητροῖ, σὺ κεῖνον; ΜΗ. Νοσσὶς ε[ἶ]χεν ἡρίννης τριτημέρηι νιν· μᾶ, καλόν τι δώρημα. ΚΟ.Νοσσίς; κόθεν λαβοῦσα; ΜΗ. διαβαλεῖς ἤν σοι εἴπω; ΚΟ. μὰ τούτους τοὺς γλυκέας, φίλη Μητροῖ, ἐκ τοῦ Κοριττοῦς στόματος οὐδεὶς μὴ ἀκούσηι

ὅς’ ἂν σὺ λέξηις. ΜΗ. ἡ Βιτᾶδος Εὐβούλη ἔδωκεν αὐτῆι καὶ εἶπε μηδέν’ αἰσθέσθαι. ΚΟ.γυναῖκες. αὕτη μ’ ἡ γυνή κοτ’ ἐκτρίψει. ἐγὼ μὲν αὐτὴν λιπαρεῦσαν ἠιδέσθην κἦδωκα, Μητροῖ, πρόσθεν ἢ αὐτὴ χρήσασθαι·

ἣ δ’ ὥ 〈σ〉 περ εὕρημ’ ἁρπάσα 〈σα〉 δωρεῖται

καὶ τῇισι μὴ δεῖ. χαιρέτω φίλη πολλά ἐοῦσα τοίη, κἠτέρην τιν’ ἀντ’ ἡμέων φίλην ἀθρείτω. τἀμὰ Νοσσίδι χρῆσαι τῆι μὴ δοκέω—μέζον μὲν ἢ δίκη γρύζω,

λάθοιμι δ’, Ἀδρήστεια—χιλίων εὔντων ἕνα οὐκ ἂν ὅστις σαπρός ἐστι προσδώσω. ΜΗ.μὴ δή, Κοριττοῖ, τὴν χολὴν ἐπὶ ρινός ἔχ’ εὐθύς, ἤν τι ρῆμα μὴ σοφὸν πεύθηι. γυναικός ἐστι κρηγύης φέρειν πάντα.

ἐγὼ δὲ τούτων αἰτίη λαλεῦς’ εἰμι πόλλ’, ἀ 〈λλὰ〉 τήν μευ γλάσσαν ἐκτεμεῖν δεῖται. ἐκεῖνο δ’ οὗ σοι καὶ μάλιστ’ ἐπεμνήσθην, τίς ἔστ’ ὁ ράψας αὐτόν; εἰ φιλεῖς μ’, εἶπον. τί μ’ ἐνβλέπεις γελῶσα; νῦν ὀρώρηκας

Μητροῦν τὸ πρῶτον; ἢ τί τἀβρά σοι ταῦτα; ἐνεύχομαι, Κοριττί, μή μ’ ἐπιψεύσηι, ἀλλ’ εἰπὲ τὸν ῥάψαντα. ΚΟ. μᾶ, τί μοι ἐνεύχηι; Κέρδων ἔραψε. 〈ΜΗ.〉 κοῖος, εἰπέ μοι, Κέρδων; δύ’ εἰσὶ γὰρ Κέρδωνες· εἷς μὲν ὁ γλαυκός

ὁ Μυρταλίνης τῆς Κυλαιθίδος γείτων, ἀλλ’ οὗτος οὐδ’ ἂν πλῆκτρον ἐς λύρην ῥάψαι· ὁ δ’ ἕτερος ἐγγὺς τῆς συνοικίης οἰκέων τῆς Ἑρμοδώρου τὴν πλατεῖαν ἐκβάντι, ἦν μέν κοτ’ ἦν τις, ἀλλὰ νῦν γεγήρακε·

τούτωι Κυλαιθὶς ἡ μακαρῖτις ἐχρῆτο— μνησθεῖεν αὐτῆς οἵτινες προσήκουσι. ΚΟ.οὐδέτερος αὐτῶν ἐστιν, ὡς λέγεις, Μητροῖ· ἀλλ’ οὗτος οὐκ οἶδ’ ἢ 〈’χ〉 Χίου τις ἢ ’ρυθρέων ἥκει, φαλακρός, μικκός· αὐτὸ ἐρεῖς εἶναι

Πρηξῖνον, οὐδ’ ἂν σῦκον εἰκάσαι σύκωι ἔχοις ἄν [οὕτ]ω· πλὴν ἐπὴν λαλῆι, γνώσηι Κέρδων ὀτεύνεκ’ ἐστὶ καὶ οὐχὶ Πρηξῖνος. κατ’ οἰκίην δ’ ἐργάζετ’ ἐνπολέων λάθρη, τοὺς γὰρ τελώνας πᾶσα νῦν θύρη φρίσσει.

ἀλλ’ ἔργα, κοῖ’ ἐστ’ ἔργα· τῆς Ἀθηναίης αὐτῆς ὁρῆν τὰς χεῖρας, οὐχὶ Κέρδωνος, δόξεις. ἐ[γὼ] μὲν —δύο γὰρ ἦλθ’ ἔχων, Μητροῖ— ἰδοῦσ’ ἅμ’ ἰδμῆι τὤμματ’ ἐξεκύμηνα· τὰ βαλλί’ οὕτως ἄνδρες οὐχὶ ποιεῦσι

—αὐταὶ γάρ εἰμεν—ὀρθά· κοὐ μόνον τοῦτο, ἀλλ’ ἡ μαλακότης ὕπνος, οἱ δ’ ἰμαντίσκοι ἔρι’, οὐκ ἰμάν[τες]. εὐνοέστερον σκυτέα γυναικ[ὶ] διφῶσ’ ἄλλον οὐκ ἀνευρ[ή]σ[εις. ΜΗ.κῶς οὖν ἀφῆκας τὸν ἕτερον; 〈ΚΟ.〉 τ[ί] δ’ οὐ, Μητροῖ,

ἔπρηξα; κοίην δ’ οὐ προσήγαγ[ο]ν πειθοῦν αὐτῶι; φιλεῦσα, τὸ φαλακρὸν κ[α]ταψῶσα, γλυκὺν πιεῖν ἐγχεῦσα, ταταλίζ[ο]υσα, τὸ σῶμα μοῦνον οὐχὶ δοῦσα χρήσασθαι. ΜΗ.ἀλλ’ εἴ σε καὶ τοῦτ’ ἠξίωσ’, ἔδει δοῦ[ν]αι.

ΚΟ.ἔδει γάρ· ἀλλ’ ἄκαιρον οὐ πρέποντ’ εἶναι· ἤληθεν ἡ Βιτᾶδος ἐν μέσωι 〈Εὐ〉 βούλη· αὕτη γὰρ ἡμέων ἡμέρην τε κα[ὶ] νύκτα τρίβουσα τὸν ὄνον σκωρίην πεποίηκεν, ὅκως τὸν ωὑτῆς μὴ τετρωβόλου κόψηι.

ΜΗ.κῶς δ’ οὗτος εὗρε πρός σε τὴν ὁδ[ὸ]ν ταύτην, φίλη Κοριττοῖ; μηδὲ τοῦτό με ψεύσηι. ΚΟ.ἔπεμψεν αὐτὸν Ἀρτεμεὶς ἡ Κανδᾶδος τοῦ βυρσοδέψεω τὴν στέγην σημήνασα. ΜΗ.αἰεὶ μὲν Ἀρτεμείς τι καινὸν εὑρίσ[κ]ει,

πρόσω πιεῦσα τὴν προκυκλίην θα...ν. ἀλλ’ οὖν γ’ ὅτ’ οὐχὶ τοὺς δύ’ εἶχες ἐγλῦσαι

ἔδει πυθέσθαι τὸν ἕτερον τίς ἡ ἐγδοῦσα. ΚΟ.ἐλιπάρεον, ὁ δ’ ὤ[μ]νυε οὐκ ἂν εἰπεῖν μοι· ταύτηι γὰρ καὶ ἠγάπησεν Μητροῖ.

〈ΜΗ.〉 λέγεις ὁδόν μοι· νῦν πρὸς Ἀρτεμεῖν εἶμι, ὅκως ὁ Κέρδων ὅστις ἐστὶν εἰδ[ή]σω. ὑγίαινέ μο[ι, Κοριτ]τί. λαιμᾶι τ[ις], κὤρη ἡμῖ[ν] ἀφ[......] ἐστί. ΚΟ. τὴν θύρην κλεῖσον, αὕτ[η σ]ύ, .[..]..οπῶλι, κἀξαμίθρησαι

αἱ ἀλεκτο[ρῖ]δες εἰ [σ]όαι εἰσί, τῶν τὲ αἱρέων αὐτῆισ[......]ν· οὐ γὰρ ἀλλὰ πορθεῦ[σ]ι ὠρν[ι]θο[κ]λέ[π]ται, κἢν τρέφηι τις ἐν κόλπωι.

ΜΗΤΡΩ

Κέρδων, ἄγω σοι τάσδε τὰς .[.....] τι τῶν σῶν ἔχεις αὐτῆισιν ἄξιον δεῖ[ξ]αι χειρέων νοῆρες ἔργον. ΚΕΡΔΩΝ οὐ μάτην, Μητροῖ, ἐγὼ φ[ι]λ 〈έ〉 ω σε. τῆις γυναιξὶν οὐ θήσεις

τὴν μέζον’ ἔξω σανίδα; Δριμύλωι φωνέω· πάλιν καθεύδεις; κόπτε, Πίστε, τὸ ῥύγχος αὐτοῦ, μέχρις τὸν ὕπνον ἐκχέηι πάντα· μᾶλλον δὲ τὴν ἄκανθα[ν] ὡς ἐχ[...].καληι ἐκ τοῦ τραχήλου δῆσο[ν. εἶ]α δή, [.....]ψ,

κίνει ταχέως τὰ γοῦνα· [μ]έζον [....].. τρίβειν ψοφεῦντα νουθ[........] τῶνδε. νῦν ἔκ μιν αὐτὴν λε[..........]ρυνις

κ..ψ[..].[...] σευ τη.[..........]ψήσω. ἔζεσ[θ]ε, Μητροῖ. Πίστ[ε, ........ ο]ιξας

πυργῖδα, μὴ τὴν ὧδ[ε, ..........]ν τὰ χρήσιμ’ ἔργα τοῦ τρ[..........]ος ταχέως ἔνεγκ’ ἄνωθ[εν ....... Μη]τροῖ, οἷ’ ἔργ’ ἐπόψεσθ’. ἠσυχῇ [.........]ον τὴν 〈σ〉 αμβαλούχην οἶγ[ε .......] πρῶτον

Μητροῖ, τελέων ἄρη[ρε ......]εων ἴχνος. θηεῖσθε κὐμε[ῖ]ς, ὦ γυ[ναῖκες· ἡ πτ]έρνη ὀρῆτ’ ὅπως πέπηγε, χ[....]φην.[..]οις ἐξηρτίωται πᾶσα, κο[ὐ τ]ὰ μὲν κ[αλ]ῶς τὰ δ’ οὐχὶ καλῶς, ἀλλὰ πα[ν]τ’ ἶσαι χ[εῖρε]ς.

τὸ χρῶμα δ’ οὕτως ὖμ[ι]ν ἡ Πα[...] δοίη .[.........]ερ ἰχανᾶσθ’ ἐπαυρέσθαι .[...........]λο τῶιδ’ ἶσον χρῶμα κ[............]ωκουδε κηρὸς ἀνθήσει χ[............]ς τρεῖς ἔδωκε Κανδᾶτ[.].

κ[............] τοῦτο κἤτερον χρῶμα β[............]μι πάντ’ ὅς’ ἐστὶ ἰ[ρ]ά κω[..........] τὴν ἀληθ[ε]ι[η]ν βάζειν ............] οὐδ’ ὅσον ροπὴν ψεῦδος ...........] Κέρδωνι μὴ βίου ὄνησις

μ[.........]ων γίνοιτο κα[ὶ] χάριν πρός με .........]αρ ἀλλὰ μεζόνων ἤδη .........] κερδέων ὀριγνῶνται ............] τὰ ἔργα τῆς τέχνης ἡμ〈έ〉ων .....πί]συγγος δὲ δειλαίην οἰζύν

.....].ναν[..]εων νύκτα κἠμέρην θάλπω .....]ς ἡμέων ἄχρι〈σ〉 ἐσπέρης κάπτει ....]αι πρ[ὸς] ὄρθρον οὐ δοκέω τόσ〈σ〉ον τὰ Μικίωνος κηρί’ εὐπ[ ]

κοὔπω λέγω, τρισκαίδε[κ...... β]όσκω,

ὀτεύνεκ’, ὦ γυναῖκες, ἀργ[.......]ς οἵ, κἢν ὕηι Ζεύς, τοῦτο μοῦ[νον .....]. φέρ’ εἰ φέρεις τι, τἄλλα δ’ ἀ[.].[.....].ται ὄκως νεοσσο[ὶ] τὰς κοχώνας θά[λ]π[ο]ντες. ἀλλ’ οὐ λόγων γάρ, φασίν, ἡ ἀγορὴ δεῖται

χαλκῶν δέ, τοῦτ’ ἢν μὴ ὖμιν ἀ[ν]δάνηι, Μητρ[οῖ, τὸ ζεῦγος, ἕτερον κἄτε[ρ]ον μάλ’ ἐξοίσει, ἔστ’ ἂν νόωι πεισθῆτε [μὴ λ]έγει[ν] ψευδέα Κέρδωνα. τάς μοι σα[μβα]λουχίδας πάσας ἔνεγκε, Πίστε ...αλισγ.ννηθεισας

ὑμέας ἀπελθεῖν, ὦ γυναῖκες, εἰς οἶκον. θήσεσθε δ’ ὑμ[εῖς·] γένεα ταῦτα πα[ν]τοῖα· Σικυώνι’, Ἀμβρακίδια, Νοσσίδες, λεῖαι, ψιττάκια, κανναβίσκα, Βαυκίδ[ες], βλαῦται, Ἰωνίκ’ ἀμφίσφαιρα, νυκτιπήδηκες,

ἀκροσφύρια, καρκίνια, σάμβαλ’ Ἀργεῖα, κοκκίδες, ἔφηβοι, διάβαθρα· ὧν ἐρᾶι θυμός ὑμέων ἑκάστης εἴπατ’, ὡς ἂν αἴσθοισθε σκύτεα γυναῖκες καὶ κύνες τί βρώζουσιν. ΜΗ.κόσου χρεΐζεις κεῖν’ ὃ πρόσθεν ἤειρας

ἀπεμπολῆ〈σαι〉 ζεῦγος; ἀλλὰ μὴ βροντέων οὗτος σὺ τρέψηις μέζον εἰς φυγὴν ἡμέας. ΚΕ.αὐτὴ σὺ καὶ τίμησον, εἰ θέλεις, αὐτό καὶ στῆσον ἧς κότ’ ἐστιν ἄξιον τιμῆς. ὁ τοῦτο ἐῶν γὰρ οὔ σε ρηιδίως ρινᾶι.

ζευγέων, γύναι, τὠληθὲς ἢν θέληις ἔργον, ἐρεῖς τι—ναὶ μὰ τήνδε τὴν τεφρὴν κόρσην, ἐπ’ ἧς ἀλώπηξ νοσσίην πεποίητα[ι— τάχ’ ἀλφιτηρὸν ἐργα[λ]εῖα κινεῦσι.

Ἑρμῆ τε Κερδέων καὶ σὺ Κερδείη Πειθοῖ,

ὡς, ἤν τι μὴ νῦν ἧμιν ἐς βόλον κύρσηι, οὐκ οἶδ’ ὄκως ἄμεινον ἡ χύτρη πρήξει. ΜΗ.τί τονθορύζεις κοὐκ ἐλευθέρηι γλάσσηι τὸν τῖμον ὅστις ἐστὶν ἐξεδίφησας; ΚΕ.γύναι, μιῆς μνῆς ἐστιν ἄξιον τοῦτο

τὸ ζεῦγος· ἢ ἄνω ’σ〈τ〉’ ἢ κάτω βλέπειν· χαλκοῦ ρίνημ’ ὃ δήκοτ’ ἐστὶ τῆς Ἀθηναίης ὠνευμένης αὐτῆς ἂν οὐκ ἀποστάξαι. ΜΗ.μάλ’ εἰκότως σευ τὸ στεγύλλιον, Κέρδων, πέπληθε δαψιλέων τε καὶ καλῶν ἔργων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φύλασσε κάρτα ϛ’ αὐτά· τῆι γὰρ εἰκοστῆι τοῦ Ταυρεῶνος ἡκατῆ γάμον ποιεῖ τῆς Ἀρτακηνῆς, κὐποδημάτων χρείη· τάχ’ οὖν, τάλης, ἄιξουσι σὺν τύχηι πρός σε, μᾶλλον δὲ πάντως. ἀλλὰ θύλακον ῥάψαι

τὰς μνέας ὅκως σοι μὴ αἱ γαλαῖ διοίσουσι. ΚΕ.ἤν τ’ ἠκατ〈ῆ〉 ἔλθηι, μνῆς ἔλασσον οὐκ οἴσει, ἤν τ’ ἡ Ἀρτακηνή. πρὸς τάδ’, εἰ θέλεις, σκέπτευ. ΜΗ.οὔ σοι δίδωσιν ἡ ἀγαθὴ τύχη, Κέρδων, ψαῦσαι ποδίσκων ὧν Πόθοι τε κἤρωτες

ψαύουσιν; ἀλλ’ εἶς κνῦσα καὶ κακὴ λώβη ὥστ’ ἐκ μὲν ἡμέων λιολεοσεω πρήξεις. ταύτηι δὲ δώσεις κε[ῖ]νο τὸ ἕτερον ζεῦγος κόσου; πάλιν πρήμηνον ἀξίην φωνήν σεωυτοῦ. 〈ΚΕ.〉 στατῆρας πέντε, ναὶ μὰ θεούς, φο[ι]τᾶι

ἡ ψάλτρι’ 〈Εὐ〉ετηρὶς ἡμέρην πᾶσαν λαβεῖν ἀνώγους’, ἀλλ’ ἐγώ μιν [ἐ]χθ[α]ίρω, κἢν τέσσαρας μοι Δαρικοὺς ὑπόσχηται, ὀτεύνεκέν μευ τὴν γυναῖκα τωθάζει κακοῖσι δέννοις· εἰ δ[.......].ι χρείη

φερευλαβου〈 〉 τῶν τριῶν [....] δοῦναι καὶ ταῦτα καὶ ταῦτ’ ἧι ὗμιν ἑπτὰ Δαρεικῶν ἕκητι Μητροῦς τῆσδε· μηδὲν ἀντείπηις. δύ]ναιτό μ’ ἐλάσαι σαν[..] τὸν πίσ[υγγον ἐόντα λίθινον ἐς θεοὺς ἀναπτῆναι·

ἔχεις γὰρ οὐχὶ γλάσσαν, ἡδονῆς δ’ ἠθμόν. ἆ, θεῶν ἐκεῖνος οὐ μακρὴν ἀπ..[...].. ὀτέωι σὺ χείλεα νύκτα κἠμέρην οἴγ[εις. φέρ’ ὧδε τὸν ποδίσκον· εἰς ἴ〈χ〉νος θῶ.... πάξ· μήτε προσθῆις μήτ’ ἀπ’ οὖν ἕληι[ς] μηδέν·

τὰ καλὰ πάντα τῆις καλῆισιν ἁρμόζει· αὐτὴν ἐρεῖς τὸ πέλμα τὴν Ἀθηναίην τεμεῖν. δὸς αὕτη καὶ σὺ τὸν πόδ’· ἆ, ψωρή ἄρηρεν ὀπλή· βοῦς ὁ λακτίσας ὑμ〈έ〉ας. εἴ τις πρ[ὸ]ς ἴχνος ἠκόνησε τὴν σμίλην,

οὐκ ἄν, μὰ τὴν Κέρδωνος ἑστίην, οὕτω τοὔργον σαφέως ἔκειτ’ ἂν ὡς σαφ〈έ〉ως κεῖται. αὔτη σύ, δώσεις ἑπτὰ Δαρικοὺς τοῦδε, ἡ μέζον ἵππου πρὸς θύρην κιχλίζουσα; γυναῖκες, ἢν ἔχητε κἠτέρων χρείην

ἢ σαμβαλίσκων ἢ ἃ κατ’ οἰκίην ἕλκειν εἴθισθε, τήν μοι δουλ[ίδ]’ ὧδε 〈δεῖ〉 πέμπειν. σὺ δ’ ἧκε, Μητροῖ, πρός με τῆι ἐνάτηι πάντως ὅκως λάβηις καρκίνια· τὴν γὰρ οὖν βαίτην θάλπουσαν εὖ δεῖ ’νδον φρονεῦντα καὶ ῥάπτειν.

ἄστηθι, δούλη Ψύλλα· μέχρι τέο κείσηι

ῥέγχουσα; τὴν δὲ χοῖρον αὐονὴ δρύπτει· ἢ προσμένεις σὺ μέχρις εὖ ἥλιος θάλψηι τὸ]ν κῦσον ἐσδύς; κῶς δ’, ἄτρυτε, κοὐ κάμνεις

τὰ πλ]ευρὰ κνώσσους’; αἱ δὲ νύκτες ἐννέωροι. ἄστη]θι, φημί, καὶ ἅψον, εἰ θέλεις, λύχνον, καὶ τ]ὴν ἄναυλον χοῖρον ἐς νομὴν πέμψ[ον. τ]όνθρυζε καὶ κνῶ, μέχρις εὖ παραστά[ς σοι τὸ] βρέγμα τῶι σκίπωνι μαλθακὸν θῶμα[ι.

δει]λὴ Μεγαλλί, κα[ὶ] σὺ Λάτμιον κνώσσεις; οὐ] τὰ ἔριά σε τρύχ[ο]υσιν· ἀλλὰ μὴν στέμμ[α ἐπ’ ἱρὰ διζόμεσ[θ]α· βαιὸς οὐκ ἧμιν ἐν τῆι οἰκίηι ἔτι μα[λ]λὸς εἰρίων. δειλή, ἄστηθι. σύ τε μοι τ[οὔ]ναρ, εἰ θέλεις, Ἀννᾶ,

ἄκουσον· οὐ γὰρ νη[πία]ς φρένας βόσκεις. τράγον τιν’ ἕλκειν [διὰ] φάραγγος ᾠιήθη[ν μακρῆς, ὁ δ’ εὐπώ[γω]ν τε κεὔκερως [ . ἐπεὶ δὲ δὴ [.]..[.......]. τῆς βήσσης η[..]σφα[..........] γὰρ ἔσσωμαι

συ[...............].ες αἰπόλοι πλε[ τη[...............].ριωντεποιευ[ κἠγὼ οὐκ ἐσύλευν [....].(.)[ καὶ ἄλλης δρυὸς [...].ε.[ οἱ δ’ ἀμφικαρτα.[...]τεσ[

τὸν αἶγ’ ἐποίευν [....]π[ καὶ [π]λησίον με[....]..[ κ[.....].νμα.[....].ω[ σχ[.....] κροκωτ[....]φι[ ω[.....] λεπτῆς ἄντυγος ....[

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σ[.....]ς δὲ νεβροῦ χλαν[ι]δίω[ι] κατέζω[στ]ο

book 8 κ[......].ν κύπα[σσι]ν ἀμ[φ]ὶ τοῖ[ς] ὤμοις κο[......] ἀμφὶ κρ[ητὶ κ]ίσσι[ν]ʼ ἔστεπτο ..... κο]θόρνου[....]η κα[τ]αζώστρηι ........]ωμεντο[....].α.[.....] φρίκη[.

book 8.35 ........]ωρηνιχ[...].θι[ ] .......]ο λῶπο[ς ...]κον [πε]ποιῆσθαι ...... Ὀδ]υσσέως ω[....] Αἰόλ[ου] δῶρον .........]φ.[.......]το.[...]α λακτίζειν ........]εγ[......].εν[..] λῷστον

book 8.40 ὥσπερ τελεῦμεν ἐγ χοροῖς Διωνύσου. κοὶ μὲν μετώποις ἐ[ς] κόνιν κολυμβῶ[ντες ἔκοπτον ἀρνευτῆρ[ε]ς ἐκ βίης οὖδας, οἰ δʼ ὕπτι' ἐρριπτεῦντο· πάντα δʼ ἦν, Ἀνν[ᾶ, εἰς ἓν γέλως τε κἀνίη [......]εντα.

book 8.45 κἀγὼ δόκεον δὶς μ..[..]. ἐκ τ[ό]σης λείης ἐπ' οὖν ἀλέσθαι, κἠλάλαξαν ὤνθρωπ[οι ὥς μ' εἶδ[ον ..]ως τὴν δο[ρὴ]ν πιεζεῦσαν καὶ φ[....................]τ[ οιδε[

book 8 γρυπ[ ρυπ[ τ[ τ[ [

book 8.55 [ [ [ τὰ δεινὰ πνεῦσαι λὰξ πατε[ ἔρρ' ἐκ προσώπου μή σε καίπερ ὢν πρέσβυς

book 8.60 οὔληι κατ' ἰθὺ τῆι βατηρίηι κό[ψω. κἠγὼ μεταῦτις· ὦ παρεόν[τες θανεῦμ' ὑπὲρ γῆς, εἰ ὁ γέρων μ[ μαρτύρ[ο]μαι δὲ τὸν νεην[ίην ὁ δʼ εἶπεν [ἄ]μφω τὸν δορέα .[

book 8.65 καὶ τοῦτ' ἰ[δ]ὼν ἔληξα. τὸ ἔνδυ[τον ...]ναδ[..] ὧδε. τὤναρ ὧδ' ἰ[ .......]ν αἶγα τῆς φ[άραγγος] ἐξεῖλκον ..... κ]αλοῦ δῶρον ἐκ Δ[ιων]ύσου ..... αἰ]πόλοι μιν ἐκ βίης [ἐδ]αιτρεῦντο

book 8.70 τ]ὰ ἔνθεα τελεῦντες καὶ κρεῶ[ν] ἐδαίνυντο, τὰ μέλεα πολλοὶ κάρτα, τοὺς ἐμοὺς μόχθους, τιλεῦσιν ἐν Μούσηισιν. ωδεγω[ ]το. τὸ μὴν ἄεθλον ὡς δόκευν ἔχ[ει]ν μοῦνος πολλῶν τὸν ἄπνουν κώρυκον πατησάντων,

book 8.75 κὴ τῶι γέροντι ξύν' ἔπρηξα ὀρινθέντι, ..] κλέος, ναὶ Μοῦσαν, ἤ μ' ἔπεα κ[ .]εγ' ἐξ ἰάμβων, ἤ με δευτέρη γν[ .]... μετ' Ἱππώνακτα τὸν παλαι[ τ]ὰ κύλλ' ἀείδειν Ξουθίδηις επιουσι.

book 9 .]ζεσθε πᾶσαι. κοῦ τὸ παιδίον; δεξ[ .]αιπ[.]ος Εὐέτειραν καὶ Γλύκην .[ .]ιτ[....]αιδρη τὴν ἐτοῖμον ου[ ........].ισμησε[..]ισματων[

book 9.5 .......].ινατ[.....]νηνυτω[ ........].η[......]αχηπεπο[ ......]..[.......]φερεσκο.[ .ρ[..]οδ.[............]α δειλαίοις βλε[ φερω...[.........].ακαιτανυ[

book 9.10 αυτησυ.[..........].εται νο[ ουπροσθα[.........]νισηξ[ τίθεσθ' α.[........ ἄ]εθλον ἐξοι[ γληχ[...............]κεῦσί ς' ἥειρα

book 10 ἐπὴν τὸν ἐξηκοστὸν ἥλιον κάμψηις, ὦ Γρύλλε, Γρύλλε, θνῆισκε καὶ τέφρη γίνευ· ὡς τυφλὸς οὑπέκεινα τοῦ βίου καμπτήρ· ἤδη γὰρ αὐγὴ τῆς ζοῆς ἀπήμβλυνται.

book 11 προσφὺς ὅκως τις χοιράδων ἀνηρίτης

book 12 ἢ χαλκέην μοι μυῖαν ἢ κύθρην παίζει ἢ τῆισι μηλάνθηισιν ἅμματ' ἐξάπτων τοῦ κεσκίου μοι τὸν γέροντα λωβᾶται.

book 13 ὡς οἰκίην οὐκ ἔστιν εὐμαρέως εὑρεῖν ἄνευ κακῶν ζώουσαν· ὃς δʼ ἔχει μεῖον,

book 13 τοῦτόν τι μέζον τοῦ ἑτέρου δόκει πρήσσειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org